ΤΩΝ ΑΡΧΩΝ ΔΙΑΛΕΧΘΗΝΑΙ, ΤΩΝ ΦΕΡΟΥΣΩΝ ΗΜΑΣ ΕΠΙ ΤΗΝ ΠΟΛΙΤΙΚΗΝ ΕΥΔΑΙΜΟΝΙΑΝ. Ἐπεὶ τοίνυν ἀρχῶν τε καὶ πολιτείας ἐμνημονεύσαμεν, φέρε εἴπωμεν περὶ τῶν ἀρχῶν καθόλου, καὶ περὶ τῆς πολιτικῆς εὐδαιμονίας· καὶ ποῖαι τῆς πολιτικῆς ἐπιστήμης ἀρχαί. ἀρχαὶ μὲν οὖν παντὸς πράγματος ἕξ. ὕλη μὲν οὖν ὡς ἐπὶ τέκτονος, τὰ ξύλα· εἶδος δὲ, τὸ ἀβάκιον, ἤ τι τοιοῦτον· ποιητικὸν δὲ, αὐτὸς ὁ τέκτων. 22) παράδειγμα δὲ, πρὸς ὃ τὴν φαντασίαν ἀπαγαγὼν ἐποίησεν· ὄργανον δὲ, πρίων τυχὸν, ἢ σκέπαρνον· τέλος δὲ, δι' ὃ γέγονεν. Φασὶ τοίνυν οἱ πολλοὶ, καὶ μὴ πρὸς ἀλήθειαν ὁρῶντες ῥήτορες, ὅτι τῆς πολιτικῆς ὕλη μὲν τὸ ἐζωωμένον σῶμα· εἶδος δὲ, ἡ τρυφή· ποιητικὸν δὲ αἴτιον, ἡ ῥητορική· παράδειγμα δὲ, ἡ τυραννίς· ὥσπερ γὰρ, φασὶν, οἱ τύραννοι πάντως κρατοῦσιν, οὕτω δὲ κἀνταῦθα κατακρατεῖν. 23) ὄργανον δὲ, ἡ πειθώ· τέλος δὲ, ἡδονή. ταῦτα μὲν ἐκεῖνοι. ἡμεῖς δέ φαμεν, ὕλην μὲν ψυχήν· καὶ ταύτην οὐ τὴν λογικὴν, ἀλλὰ καὶ τὴν τριμερῆ· 24) πολιτείαν γὰρ μιμεῖται· καὶ ὥσπερ ἐν ταῖς πόλεσίν ἐστιν ἄρχων, 25) εἰσὶ καὶ στρατιῶται, ἔτι δὲ καὶ θῆτες, οὕτω καὶ ἐν ἡμῖν ἀναλογεῖ τῷ μὲν ἄρχον-

autem in Lex. inedito habet, ἐξηρημένην. ὑπερβάλλουσαν, quam glossam descripsit Phauorinus.

22) Legendum forte ποιητικὸν δὲ αἴτιον, ὁ τ.

23) i. e. in ciuilitate quoque [vt voce Fabiana vtar] tyranni imperium obtinent. Pro δὲ legendum videtur δή.

24) Vide sis notam in *Gorg*. p. 451.

25) De trina hac ciuitatis et animae diuisione agit Plato cum alibi tum in Lib. 3. *De Rep*. p. 441. E. et deinc.